## 8A * DEUCALIONE E PIRRA versione attiva

Zeus manda sulla terra un diluvio che cancella gli uomini della stirpe di bronzo; risparmia, però, Deucalione e Pirra, che daranno origine a una nuova generazione.

aor. I e II att. e medio

Ἐπεὶ δὲ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν ἠθέλησε γένος, συμβουλεύσαντος Προμηθέως, Δευκαλίων τεκτηνάμενος λάρνακα, καὶ τὰ ἐπιτήδεια εἰσκομίσας, εἰς ταύτην μετὰ Πύρρας εἰσῆλθε. Ζεὺς δέ, πολὺν ὑετὸν ἀπ᾽ οὐρανοῦ χέας, τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε πάντας ἀνθρώπους διαφθείρεσθαι, ὀλίγων χωρίς, οἳ συνέφυγον εἰς τὰ πλησίον ὑψηλὰ ὄρη. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ᾽ ἡμέρας ἐννέα καὶ νύκτας τὰς ἴσας τῷ Παρνασῷ προσίσχει κἀκεῖ, τῶν ὄμβρων παῦλαν λαβόντων, ἐξελθὼν θύει Διὶ φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἱρεῖσθαι ὅ τι βούλεται. Ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι. Καί, Διὸς κελεύσαντος, λίθους αἴρων ἐξόπισθεν τῆς κεφαλῆς ἔβαλλεν· καὶ οὓς μὲν ἔβαλε Δευκαλίων, ἄνδρες ἐγένοντο, οὓς δὲ Πύρρα, γυναῖκες.

(da Apollodoro)

## ATTIVARE LE COMPETENZE

### Competenza linguistica

1. Analizza tutte le forme di aoristo I e II contenute nel brano.
2. Individua tutti i participi contenuti nel brano e analizzane la funzione.

© Pearson Italia S.p.A.
A. M. Santoro, F. Vuat

3. Nel passo sono presenti alcune subordinate causali, consecutive e relative: indicale.

© Pearson Italia S.p.A.

## 8B *MEDEA AIUTA GIASONE A IMPADRONIRSI DEL VELLO D’ORO

**versione attiva**

Giasone supera con successo una serie di prove, ma il re Eeta rifiuta di consegnargli il vello d’oro come promesso; soltanto grazie all’aiuto di Medea l’eroe potrà portare a termine la sua missione.

aor. I e II att. e medio

Ἰάσων δὲ τοῦτο ἀκούσας καὶ χρισάμενος τῷ φαρμάκῳ, παραγενόμενος εἰς τὸ τοῦ νεὼ ἄλσος, ἐμάστευε τοὺς ταύρους, καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας αὐτοὺς κατέζευξε. Σπείραντος δὲ αὐτοῦ τοὺς ὀδόντας, ἀνέτελλον ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι· ὁ δὲ ὅπου πλείονας ἑώρα, βάλλων ἀφανῶς λίθους, πρὸς αὐτοὺς μαχομένους πρὸς ἀλλήλους προσιὼν ἀνῄρει. Καὶ καταζευγνυμένων τῶν ταύρων οὐκ ἐδίδου τὸ δέρας Αἰήτης, ἐβούλετο δὲ τήν τε Ἀργὼ καταφλέξαι καὶ κτεῖναι τοὺς ἐμπλέοντας. Φθάσασα δὲ Μήδεια τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἤγαγε, καὶ τὸν φυλάσσοντα δράκοντα κατακοιμίσασα τοῖς φαρμάκοις μετὰ Ἰάσονος, ἔχουσα τὸ δέρας, ἐπὶ τὴν Ἀργὼ παρεγένετο. Συνείπετο δὲ αὐτῇ καὶ ὁ ἀδελφὸς Ἄψυρτος. Οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν (“partirono”).

(da Apollodoro)

## ATTIVARE LE COMPETENZE

**Competenza linguistica**

© Pearson Italia S.p.A.

1. Analizza tutte le forme di aoristo I e II contenute nel brano.
2. Individua tutti i participi contenuti nel brano e analizzane la funzione.
3. Individua il valore dei seguenti complementi:

εἰς τὸ τοῦ νεὼ ἄλσος (rr. 1-2)

.................................................................................................................................

σὺν πολλῷ πυρί (r. 2)

.................................................................................................................................

ἐκ τῆς γῆς (r. 3)

.................................................................................................................................

νυκτὸς (r. 6)

.................................................................................................................................

ἐπὶ τὴν Ἀργώ (r. 8)

.................................................................................................................................

© Pearson Italia S.p.A.